UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Theologōn diaphorōn syngrammata palaia kai orthodoxa

Gessner, Conrad

Tiguri, 1560

VD16 G 1810

Canones Sanctorvm Et Beatorvm Patrvm Qvi Sardicæ conuenerunt.

urn:nbn:de:hbz:466:1-72021

Visual Library

ſubſcribere epiſtolæ ſanctiſſimi archiepiſcopi Leonis diſtulerunt, non ut cum catholica fide pugnarent, ſed dicentes hanc eſſe conſuetudinem Aegiptiacæ dioeceſeos, ut abſque ſententia & informatione archiepiſcopi nihil faciant huiuſmodi, & orant ut remiſsio illis detur, uſq; ad deſignationem futuri Alexandrinæ urbis epiſcopi. Viſum eſt nobis rationi conſentaneum eſſe ut ipſis eodem habitu modo in urbe regia permanentibus remiſsio detur, quouſque Alexandrinæ urbis epiſcopus electus fuerit.

Paſchaſinus reuerendiſsimus epiſcopus legatus apoſtolicæ Romanæ ſedis dixit.

Si ueſtra poteſtas præcipit & iubet illis aliquam humanitatem præbere fideiubeant ſe hanc urbem non egreſſuros priuſquam Alexandrina urbs epiſcopum accipiat.

Magnificentiſsimi & illuſtriſsimi principes & ampliſsimus Senatus dixerunt. Sanctiſsimi Paſchaſini decretum firmum eſto. Ideoq; in proprio habitu maneant reuerendiſsimi epiſcopi Aegyptij, uel fideiubeant, ſi hoc fieri ab ipſis poteſt, uel iuramento fidem faciant ſe expectaturos deſignationem futuri Alexandrini epiſcopi.

οὐχ ὡς μαχόμενοι τῇ καθολικῇ πίστει, ὑπογράψαι τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος ἐπὶ τοῦ παρόντος ἀνεβάλλοντο, ἀλλὰ φάσκοντες ἔθος εἶναι ἐν τῇ αἰγυπτιακῇ διοικήσει παρὰ γνώμην καὶ διατύπωσιν τοῦ ἀρχιεπισκόπου μηδὲν τοιοῦτο ποιεῖν. καὶ ἀξιοῦσιν ἐνδοθῆναι αὐτοῖς ἄχρι τῆς χειροτονίας τοῦ ἐσομένου τῆς ἀλεξανδρέων μεγαλοπόλεως ἐπισκόπου. εὔλογον ἡμῖν ἐφάνη καὶ φιλάνθρωπον, ὥστε αὐτοῖς μένουσιν ἐπὶ τοῦ ὁμοίου σχήματος ἐν τῇ βασιλευούσῃ πόλει, ἔνδοσιν παρασχεθῆναι, ἄχρις ἂν χειροτονηθῇ ὁ ἀρχιεπίσκοπος τῆς ἀλεξανδρέων μεγαλοπόλεως.

Πασκασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος καὶ ἐπιτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου ῥώμης, εἶπεν.

ΕΙ προστάττει ἡ ὑμετέρα ἐξουσία, καὶ κελεύεταί τι πρὸς αὐτοὺς παρασχεθῆναι φιλανθρωπίας ἐχόμενον, ἐγγύας διδότωσαν, ὅτι οὐκ ἐξέρχονται ταύτης τῆς πόλεως, ἕως οὗ ἡ ἀλεξανδρέων πόλις ἐπίσκοπον δέξηται.

οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες, καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· ἡ τοῦ ὁσιωτάτου τοῦ πασκασίνου ψῆφος, βεβαία ἔστω. ὅθεν μένοντες ἐπὶ τοῦ οἰκείου σχήματος οἱ εὐλαβέστατοι ἐπίσκοποι τῶν αἰγυπτίων, ἢ ἐγγύας παρέξουσιν, εἰ τοῦτο αὐτοῖς δυνατὸν, ἢ ἐξωμοσίας καταπιστευθήσονται, ἀναμένοντες τὴν χειροτονίαν τοῦ ἐσομένου ἐπισκόπου τῆς ἀλεξανδρέων μεγαλοπόλεως.

ΚΑΝΟΝΕΣ ΤΩΝ ΕΝ ΣΑΡΔΙΚΗ ΣΥΝΕΛΘΟΝΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΜΑΚΑΡΙΩΝ πατέρων.

CANONES SANCTORVM ET BEATORVM PATRVM QVI SARdicæ conuenerunt.

SAncta Synodus Sardicæ congregata ex diuerſis prouincijs, ea quę hic ſubiecta ſunt definiunt.

Oſius epiſcopus Cordubenſis dixit: Non minus mala conſuetudo, quàm perniciosa corruptela, funditus eradicanda eſt, ne cui epiſcopo liceat de ciuitate parua, ad aliam tráſire ciuitatem. Manifeſta eſt enim eã qua hoc facere tentat. Nullus enim unquã inuẽtus eſt epiſcop. qui de maiori ciuitate, ad minorẽ tráſire ſtuderet. Vnde apparet auaritiæ ardore eos inflammari, & potius ambitioni ſeruire, ut dominationẽ maiorẽ habere uideãt.

ΗΑΓΙΑ σύνοδος ἡ ἐν Σαρδικῇ, συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν, ὥρισεν τὰ ὑποτεταγμένα.

1 Ὅσιος ἐπίσκοπος πόλεως Κορδύβης εἶπεν· οὐ τοσοῦτον ἡ φαύλη συνήθεια, ὅσον ἡ βλαβερωτάτη τῶν πραγμάτων διαφθορὰ, ἐξ αὐτῶν τῶν θεμελίων ἐστὶν ἐκριζωτέα, ἵνα μηδενὶ τῶν ἐπισκόπων ἐξῇ ἀπὸ πόλεως μικρᾶς, εἰς ἑτέραν πόλιν μεθίστασθαι· ἡ γὰρ τῆς αἰτίας ταύτης πρόφασις φανερὰ, δι' ἣν τὰ τοιαῦτα ἐπιχειρεῖται. οὐδεὶς γὰρ πώποτε εὑρεθῆναι ἐπισκόπων δεδύνηται, ὃς ἀπὸ μείζονος πόλεως εἰς ἐλαχιστοτέραν πόλιν ἐσπούδασεν μεταστῆναι· ὅθεν συνέστηκεν διαπύρῳ πλεονεξίας τρόπῳ ὑπεκκαίεσθαι τούτους· καὶ μᾶλλον τῇ ἀλαζονείᾳ δουλεύειν, ὅπως ἐξουσίαν δοκοῖεν μείζονα κεκτῆσθαι·

κτῆσθαι. εἰ πᾶσι τοίνυν τοῦτο ἀρέσκει, ὥστε τὴν τοιαύτην σκαιότητα αὐστηρότερον ἐκδικηθῆναι. ἡγοῦμαι γὰρ μηδὲ λαϊκῶν ἔχειν τοὺς τοιούτους χρῆναι κοινωνίαν

Si igitur hoc placet, huiuſmodi pernicies ſæuius, & auſterius uindicetur. Exiſtimo enim nec cum laicis iſtis habendam eſſe communionem.

2 ὅσιος ἐπίσκοπος εἶπεν· εἰ δέ τις τοιοῦτος εὑρεθείη μανιώδης ἢ τολμηρὸς, ὡς πρὸς τὴν τοιαύτην λέξιν τινὰ φέρειν παραίτησιν, διαβεβαιούμενος ἀπὸ τοῦ πλήθους, ἑαυτὸν κεκομίσθαι γράμματα· δῆλον ἐστιν, ὀλίγους τινὰς δεδυνῆσθαι μισθῷ καὶ τιμήματι διαφθαρέντας ἐν τῇ ἐκκλησίᾳ στασιάζειν, ὡς δῆθεν ἀξιοῦντας τὸν αὐτὸν ἔχειν ἐπίσκοπον· καθάπαξ οὖν τὰς ῥᾳδιουργίας τὰς τοιαύτας καὶ τέχνας, κολαστέας εἶναι νομίζω, ὥστε μηδένα τοιοῦτον μηδὲ ἐν τῷ τέλει λαϊκῆς γοῦν ἀξιοῦσθαι κοινωνίας· εἰ τοίνυν ἀρέσκει ἡ γνώμη αὕτη, ἀποκρίνασθε. ἀπεκρίναντο· τὰ λεχθέντα ἤρεσεν

Oſius Epiſcopus dixit: etiamſi talis aliquis extiterit furens, aut temerarius, ut fortaſsis talem excuſationem afferens aſſereret ſe à populis literas accipere. Manifeſtũ eſt potuiſse paucos aliquot premio & mercede corrumpi (eos qui ſynceram fidem non habent) ut clamarent in eccleſia, & ipſum petere uiderentur epiſcopũ. Omnino igitur has fraudes, & artes puniendas eſſe arbitror: ita ut nec laicam in fine cõmunionem talis accipiat. Si itaque omnibus placet hæc ſententia, ſtatuite. Reſponderunt: Dicta placent.

3 ὅσιος ἐπίσκοπος εἶπεν· καὶ τοῦτο προστεθῆναι ἀναγκαῖον, ἵνα μηδεὶς ἐπισκόπων ἀπὸ τῆς ἑαυτοῦ ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν, ἐν ᾗ τυγχάνουσιν ὄντες ἐπίσκοποι, διαβαίνοι. εἰ μή τις παρὰ τῶν ἀδελφῶν τῶν ἑαυτοῦ κληθείη· διὰ τὸ μὴ δοκεῖν ἡμᾶς τὰς τῆς ἀγάπης ἀποκλείειν πύλας. καὶ τοῦτο δὲ ὡσαύτως προνοητέον, ὥστε ἐὰν ἔν τινι ἐπαρχίᾳ ἐπίσκοπος πρός τινα ἀδελφὸν ἑαυτοῦ καὶ συνεπίσκοπον πρᾶγμα σχοίη, μηδένα ἕτερον ἐκ τούτων ἀπὸ ἑτέρας ἐπαρχίας ἐπισκόπους ἐπιγνώμονας ἐπικαλεῖσθαι· εἰ δὲ ἄρα τις ἐπισκόπων ἔν τινι πράγματι δόξῃ κατακεκρίσθαι, καὶ ὑπολαμβάνει ἑαυτὸν μὴ σαθρὸν ἀλλὰ καλὸν ἔχειν τὸ πρᾶγμα, ἵνα καὶ αὖθις ἡ κρίσις ἀνανεωθῇ· εἰ δοκεῖ ὑμῖν, τῇ ἀγάπῃ Πέτρου τοῦ ἀποστόλου τὴν μνήμην τιμήσωμεν, καὶ γραφῆναι, παρὰ τούτων τῶν κρινάντων ἰουλίῳ τῷ ἐπισκόπῳ ῥώμης, ὥστε διὰ τῶν γειτνιώντων τῇ ἐπαρχίᾳ ἐπισκόπων, εἰ δέοι ἀνανεωθῆναι τὸ δικαστήριον, καὶ ἐπιγνώμονας αὐτὸς παράσχοι. εἰ δὲ μὴ συστῆναι δύναται τοιοῦτον αὐτοῦ εἶναι τὸ πρᾶγμα, ὡς παλινδικίας χρήζειν, τὰ ἅπαξ κεκριμένα, μὴ ἀναλύεσθαι. τὰ δὲ ὄντα, βέβαια τυγχάνειν.

Oſius epiſcopus dixit: Illud quoque neceſſariò adijciendum eſt, ut ne quis epiſcopus de ſua prouincia ad aliam prouinciã, in qua ſunt epiſcopi, tranſeat, niſi à fratribus ſuis inuitatus: ne uideamur ianuam claudere charitatis. Hoc autem ſic proſpiciẽdum, ut ſi in aliqua prouincia aliquis epiſcopus contra fratrem ſuum litẽ habuerit, neuter horum ex alia prouincia aduocet epiſcopum arbitrũ. Quod ſi aliquis epiſcopus damnatus fuerit in aliqua cauſa, & putat ſe non putrem, ſed bonã habere cauſam, ut iterum iudicium renouetur, ſi uobis placet charitate Petri Apoſtoli memoriam honoremus, ut ſcribatur ab his qui eam examinarunt, Iulio Romano epiſcopo, ut per uicinos eius prouinciæ epiſcopos, ſi iudicauerit renouandum eſſe iudicium renouetur, & det iudices. Si autem probauerit talem cauſam eſſe, ut non refricentur eaque ſemel acta ſunt. Quæ decreuerit confirmata erunt.

4 Γαυδέντιος ἐπίσκοπος εἶπεν· εἰ δοκεῖ ἀναγκαῖον, προστεθῆναι ταύτῃ τῇ ἀποφάσει, ἥν τινα ἀγάπης εἰλικρινοῦς πλήρη ἐξενήνοχας, ὥστε ἐάν τις ἐπίσκοπος καθαιρεθῇ τῇ κρίσει τούτων τῶν ἐπισκόπων τῶν ἐν γειτνίᾳ τυγχανόντων, καὶ φάσκει πάλιν ἑαυτῷ ἀπολογίας πρᾶγμα ἐπιβάλλειν, μὴ πρότερον εἰς τὴν καθέδραν αὐτοῦ ἕτερον ὑποκατασταθῆναι, ἐὰν μὴ ὁ τῶν ῥωμαίων ἐπίσκοπος ἐπιγνοὺς περὶ τούτου ὅρον ἐξενέγκῃ.

Gaudentius epiſcopus dixit: Addendum, ſi uidetur neceſſarium, huic ſententiæ quam plenam ſanctitate protuliſti, ut ſi quis epiſcopus depoſitus fuerit eorum epiſcoporum iudicio qui in uicinis locis cõmorantur, & proclamauerit agendum ſibi negotium in urbe Roma, alter epiſcopus in eius cathedra non prius ordinetur, quàm cauſa fuerit in iudicio epiſcopi Romani determinata.

5 ὅσιος ἐπίσκοπος εἶπεν· ἤρεσεν, ἵν' εἴ τις ἐπίσκοπος καταγγελθείη, καὶ συναθροισθέντες οἱ ἐπίσκοποι τῆς ἐνορίας τῆς αὐτῆς τοῦ βαθμοῦ αὐτὸν ἀποκινήσωσιν· καὶ ὥσπερ ἐκκαλεσάμενος καταφύγῃ ἐπὶ τὸν μακαριώτατον τῆς ῥωμαίων ἐκκλησίας ἐπίσκοπον, καὶ βουληθείη αὐτοῦ διακοῦσαι, δίκαιόν

Oſius epiſcopus dixit: Placuit, ut ſi quis epiſcopus accuſatus fuerit, et iudicauerint congregati epiſcopi regionis ipſius, & de gradu ſuo eum deiecerint: ſi appellauerit qui deiectus eſt, & confugerit ad epiſcopum Romanæ eccleſiæ & uoluerit ſe audiri, ſi iuſtum putauerit utre-

noueturiudicium, uel diſcuſſionis examẽ,ſcribere his epiſcopis dignetur, qui in finitima & propinqua prouincia ſunt, ut ipſi diligenter omnino requirant, & iuxta fidẽ ueritatis definiant. Quod ſi is qui rogat cauſam ſuam iterum audiri, deprecatione ſua mouerit epiſcopum Romanum, ut è latere ſuo presbyterum mittat erit in poteſtate ſui epiſcopi quid uelit, & quid æſtimet. Et ſi decreuerit mittẽdos eſſe qui præſentes cum epiſcopis iudicent, habentes eius authoritatẽ à quo deſtinati ſunt, erit in ſuo arbitrio. Si uerò crediderit epiſcopos ſufficere ut negotio terminum imponant, faciet quod ſapientiſsimo conſilio indicauerit. Reſponderũt epiſcopi: placet.

τι ἐὰν νομίσῃ ἀνανεώσασθαι αὐτοῦ τὴν ἐξέτασιν τοῦ πράγματος, γράφειν τούτοις τοῖς ἐπισκόποις καταξιώσῃ τοῖς ἀγχιστεύουσι τῇ ἐπαρχίᾳ, ἵνα αὐτοὶ ἐπιμελῶς, καὶ μετὰ ἀκριβείας ἕκαστα διερευνήσωσιν, καὶ κατὰ τὴν τῆς ἀληθείας πίστιν, ψῆφον περὶ τοῦ πράγματος ἐξενέγκωσι. Εἰ δέ τις ἀξιῶν καὶ πάλιν αὐτοῦ τὸ πρᾶγμα ἀκουσθῆναι, καὶ τῇ δεήσει τῇ ἑαυτοῦ τὸν ῥωμαίων ἐπίσκοπον κρίνειν δόξῃ, ἀπὸ τοῦ ἰδίου πλευροῦ πρεσβυτέρους ἀποστέλλοι. ἵνα ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τοῦ ἐπισκόπου, ὅπερ ἂν καλῶς ἔχειν δοκιμάσῃ καὶ ὁρίσῃ δεῖν ἀποσταλῆναι τοὺς μετὰ τῶν ἐπισκόπων κρινοῦντας, ἔχοντάς τε τὴν αὐθεντίαν τούτου παρ' οὗ ἀπεστάλησαν· καὶ τοῦτο θετέον· εἰ δὲ ἐξαρκεῖν νομίσοι πρὸς τὴν τοῦ πράγματος ἐπίγνωσιν, καὶ ἀπόφασιν τοῦ ἐπισκόπου ποιήσει, ὅπερ ἂν τῇ ἐμφρονεστάτῃ αὐτοῦ βουλῇ καλῶς ἔχειν δόξῃ. Ἀπεκρίναντο οἱ ἐπίσκοποι· τὰ λεχθέντα ἤρεσεν.

Oſius epiſcopus dixit: Si contingerit in una prouincia in qua plurimi fuerint epiſcopi unum remanere epiſcopum, ille uerò negligentia quadam noluerit couuenire, & conſentire in ordine epiſcoporum, & populi cõuenerint, & quærant fieri ordinem inquerente ab illis epiſcopo: Epiſcopus qui remanſit debet prius monere per literas antiſtitis qui in ea prouincia commoratur (metropolitanum inquam epiſcopum) & oſtẽdere quod populi petant ſibi rectorem, & hoc iuſtum arbitror, ut & ipſe ueniat, & cum ipſo ordinet epiſcopum. Quod ſi conuentus literis tacuerit & diſsimulauerit, nihilq́; reſcripſerit, ſatisfaciẽdum eſſe populis. Vocandi etiam ſunt ex uicina prouincia epiſcopi ut ordinent metropolitanum epiſcopũ. Licentia uerò danda non eſt ordinandi epiſcopum aut aliquo in uico, aut in modica ciuitate, cui ſufficit unus presbyter: quia non eſt neceſſe ibi epiſcopum fieri, ne uileſcat nomẽ epiſcopi, & authoritas. Sed illi ex alia prouincia (ut iuſſerunt) epiſcopi in eis ciuitatibus conſtituere debẽt epiſcopos, quæ antea epiſcopos habuerunt. At ſi qua talis, aut tam populoſa eſt ciuitas quæ meretur habere epiſcopũ, habeat, ſi hoc omnibus placet. Synodus reſpondit, Placet.

6 Ὅσιος ἐπίσκοπος εἶπεν· ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ, ἐν ᾗ πλεῖστοι ἐπίσκοποι τυγχάνουσιν ἕνα ἐπίσκοπον ἀπομεῖναι, κἀκεῖνος κατά τινα ἀμέλειαν μὴ βουληθῇ συνελθεῖν καὶ συναινέσαι τῇ καταστάσει τῶν ἐπισκόπων, τὰ δὲ πλήθη συναθροισθέντα παρακαλοῖεν γίγνεσθαι τὴν κατάστασιν τοῦ παρ' αὐτῶν ἐπιζητουμένου ἐπισκόπου· χρὴ πρότερον ἐκεῖνον τὸν ἐναπομείναντα ἐπίσκοπον ὑπομιμνήσκεσθαι διὰ γραμμάτων τοῦ ἐξάρχου τῆς ἐπαρχίας (λέγω δὴ τοῦ ἐπισκόπου τῆς μητροπόλεως) ὅτι ἀξιοῖ τὰ πλήθη ποιμένα αὐτοῖς δοθῆναι ἡγοῦμαι καλῶς ἔχειν καὶ τοῦτον ἐκδέχεσθαι, ἵνα παραγένηται. εἰ δὲ μὴ διὰ γραμμάτων ἀξιωθεὶς παραγένηται, μήτε μὴν ἀντιγράφοι, τὸ ἱκανὸν τῇ βουλήσει τοῦ πλήθους χρὴ γενέσθαι. χρὴ δὲ καὶ μετακαλεῖσθαι καὶ τοὺς ἀπὸ τῆς πλησιοχώρου ἐπαρχίας ἐπισκόπους, πρὸς τὴν κατάστασιν τοῦ τῆς μητροπόλεως ἐπισκόπου· μὴ ἐξεῖναι δὲ ἁπλῶς καθιστᾶν ἐπίσκοπον κώμῃ τινὶ ἢ βραχείᾳ πόλει, ᾗ τινι καὶ εἷς μόνος πρεσβύτερος ἐπαρκεῖ· οὐκ ἀναγκαῖον γὰρ ἐπισκόπους ἐκεῖσε καθίστασθαι, ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκόπου ὄνομα καὶ ἡ αὐθεντία· ἀλλ' οἱ τῆς ἐπαρχίας, ὡς προεῖπον, ἐπίσκοποι ἐν ταύταις ταῖς πόλεσιν καθιστᾶν ἐπισκόπους ὀφείλουσιν, ἔνθα καὶ πρότερον ἐτύγχανον γεγονότες ἐπίσκοποι· εἰ δὲ εὑρίσκοιτο οὕτως πληθύνουσά τις ἐν πολλῷ ἀριθμῷ λαοῦ πόλις, ὡς ἀξίαν αὐτὴν καὶ ἐπισκοπῆς νομίζεσθαι, λαμβανέτω, εἰ πᾶσιν ἀρέσκει τοῦτο. Ἀπεκρίναντο πάντες, Ἀρέσκει.

Oſius epiſcopus dixit: Importunitates noſtræ, & nimia frequentia & iuſtæ petitiones fecerũt ut nos nõ tãtam haberemns uel gratiã uel fiduciã, quantã habere debemꝰ. Multi enim epiſcopi non ceſſant ad comitatum ire, & maximè Aphri, qui (ſicuti cognouimus) ſanctiſsimi fratris & coepiſcopi noſtri grati ſalu-

7 Ὅσιος ἐπίσκοπος εἶπεν. ἡ ἀκαιρία ἡμῶν, καὶ ἡ πολλὴ συνέχεια, καὶ αἱ ἄδικοι ἀξιώσεις, πεποιήκασιν ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν καὶ παρρησίαν, ὅσην ὀφείλομεν κεκτῆσθαι. πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ διαλείπουσιν εἰς τὸ στρατόπεδον παραγινόμενοι. καὶ μάλιστα οἱ ἄφροι· οἵτινες, καθὼς ἔγνωμεν, παρὰ τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ συνεπισκό-

που

τοκράτορ τὰς σωτηριώδεις συμβουλὰς οὐ προσδέ-
χονται, ἀλλὰ καταφρονοῦσιν οὕτως ὥς τινα ἄνθρω-
πον εἰς τὸ στρατόπεδον, πλείστας καὶ διαφόρους καὶ
μὴ δυναμένας ὠφελῆσαι τὰς ἐκκλησίας δεήσεις
διακομίζειν, καὶ μὴ, ὡς ὀφείλει γίνεσθαι καὶ ὡς προσ-
ῆκόν ἐστι, τοῖς πένησι καὶ τοῖς λαϊκοῖς ἢ ταῖς χή-
ραις συναίρεσθαι καὶ ἐπικουρεῖν, ἀλλὰ κοσμικὰ
ἀξιώματα καὶ πράξεις περινοεῖν τισίν· αὕτη τοίνυν
ἡ σκαιότης, τὸν θρυλλισμὸν οὐκ ἄνευ σκανδάλου τι-
νὸς ἡμῖν καὶ καταγνώσεως προξενεῖ· πρεπωδέστε-
ρον δὲ εἶναι ἐνόμισα ἐπίσκοπον τὴν ἑαυτοῦ βοήθειαν
παρέχειν ἐκείνῳ, ὅστις ἂν ὑπό τινος βιάζηται, ἢ εἴ
τις τῶν χηρῶν ἀδικοῖτο, ἢ αὖ πάλιν ὀρφανός τις ἀπο-
στεροῖτο τῶν αὐτῷ προσηκόντων, εἴπερ ἄρα καὶ ταῦ-
τα τὰ ὀνόματα δικαίαν ἔχει τὴν ἀξίωσιν· εἰ τοίνυν,
ἀγαπητοὶ ἀδελφοὶ, πᾶσι τοῦτο δοκεῖ, ὁρίσατε
μηδένα ἐπίσκοπον χρῆναι εἰς τὸ στρατόπεδον πα-
ραγίνεσθαι παρεκτὸς τούτων, οὓς ἂν ὁ εὐλαβέστατος
βασιλεὺς ἡμῶν τοῖς ἑαυτοῦ γράμμασι μετακαλ-
οῖτο· ἀλλ' ἐπειδὴ πολλάκις συμβαίνει τινὰς οἰκ-
τροδεομένους καταφυγεῖν ἐπὶ τὴν ἐκκλησίαν διὰ τὰ
ἑαυτῶν ἁμαρτήματα εἰς περιορισμὸν ἢ νῆσον κα-
ταδικασθέντας, ἢ δ' αὖ πάλιν οἱαδηποτοῦν ἀπο-
φάσει ἐκδεδομένους τοῖς τοιούτοις, μὴ ἀρνητέαν εἶναι
τὴν βοήθειαν, ἀλλὰ χωρὶς μελλησμοῦ καὶ ἄνευ τοῦ δι-
στάσαι τοῖς τοιούτοις αἰτεῖσθαι συγχώρησιν. εἰ τοίνυν
καὶ τοῦτο ἀρέσκει, σύμψηφοι γίνεσθε ἅπαντες. ἀ-
πεκρίναντο ἅπαντες· ὁριζέσθω καὶ τοῦτο.

Ὅσιος ἐπίσκοπος εἶπεν· καὶ τοῦτο ἡ ἀγχίνοια ὑ-
μῶν κρινάτω, ἵν' ἐπειδὴ ἔδοξεν διὰ τὸ μὴ πίπτειν
ὑπὸ κατάγνωσιν τινὰ τῶν ἐπισκόπων ἀφικνουμένων
εἰς τὸ στρατόπεδον, εἴ τινες αὐτῶν τοιαύτας ἔχοιεν
δεήσεις, οἵων ἐπάνω ἐπεμνήσθημεν, διὰ ἰδίου διακό-
νου ἀποστέλλοιεν· τοῦτο γὰρ ὑπηρέτου τὸ πρόσωπον οὐκ
ἐπίφθονον τυγχάνει, καὶ τὰ παρασχεθησόμενα θᾶτ-
τον κομισθῆναι δυνήσεται. ἀπεκρίναντο πάντες·
καὶ τοῦτο ὁριζέσθω.

Ὅσιος ἐπίσκοπος εἶπεν· καὶ τοῦτο ἀκόλουθον νο-
μίζω εἶναι, ἵνα ἐν οἱαδηποτοῦν ἐπαρχίᾳ ἐπίσκοποι
πρὸς ἀδελφὸν καὶ συνεπίσκοπον ἑαυτῶν ἀποστέλ-
λοιεν δεήσεις, ὁ ἐν τῇ μείζονι τυγχάνων πόλει, τουτ-
έστιν, τῇ μητροπόλει, αὐτὸς καὶ τὸν διάκονον αὐτοῦ
καὶ τὰς δεήσεις ἀποστέλλοι, παρέχων αὐτῷ καὶ συστα-
τικὰς ἐπιστολὰς, γράφων δηλονότι κατὰ ἀκολουθίαν
καὶ πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν,
εἴ τινες ἐν ἐκείνῳ τῷ καιρῷ ἐν τοῖς τόποις ἢ ἐν ταῖς
πόλεσι διάγοιεν, ἐν αἷς ὁ εὐσεβέστατος βασιλεὺς
τὰ δημόσια πράγματα διακυβερνᾷ· εἰ δὲ ἔχοι τις
τῶν ἐπισκόπων φίλους ἐν τῇ αὐλῇ τοῦ παλατίου, καὶ
βούλοιτο περί τινος, ὅπερ πρεπωδέστερον εἴη, ἀξιῶ-
σαι, μὴ κωλύοιτο διὰ τοῦ ἑαυτοῦ διακόνου καὶ ἀξιῶ-
σαι καὶ ἐντείλασθαι τούτοις, ὥστε τὴν αὐτὴν ἀγα-
θὴν βοήθειαν ἀξιοῦντι αὐτῷ παρέχειν ἡγοῖτο. οἱ
δὲ εἰς Ῥώμην παραγινόμενοι, καθὼς προείρηκα, τῷ
ἀγαπητῷ ἀδελφῷ ἡμῶν καὶ συνεπισκόπῳ Ἰουλίῳ.

taria conſilia non recipiunt, ſed ſpernunt atq;
contemnunt, ut non ſolum ad comitatū mul
tas & diuerſas eccleſiæ non profuturas profe-
rāt cauſas, et non, ut fieri ſolet, aut oportet, aut
pauperib. aut Laicis, aut uiduis, ſubueniatur,
ſed & dignitates ſeculares et adminiſtrationes
quibuſdā poſtulāt. Hæc itaque prauitas olim
non ſolum murmurationes, ſed & ſcandala ex
citat. Honeſtius autem huic eſſe duxi ut epi-
ſcopi illi interceſsionē præſtent, qui ab ali-
quo iniqua uiopprimitur, aut ſi uidua affligat,
aut pupillus expolietur: ſi tamē iſthæc nomina
iuſtā habeāt cauſam, aut petitionē. Si uobis er
go fratres chariſsimi omnibus hoc placet, de-
cernite ne epiſcopi ad comitatum accedant,
niſi forte hi qui religioſi Imperatoris literis,
uel inuitati uel uocati fuerint. Sed quoniam
ſæpe contingit, ut ad miſericordiam eccleſiæ
confugiant qui iniuriam patiūtur, aut qui pec
cantes in exilio uel inſulis damnantur, aut cer
tè quamcunque ſententiam ſuſcipiunt, ſubue-
niendum eſt his, & ſine dubitatione petenda
indulgentia. Hoc ergo omnes decernite, ſi uo-
bis placet. Vniuerſi dixerunt: & hoc conſti-
tuatur.

8 Oſius epiſcopus dixit: Hoc quoque proui-
dentia ueſtra tractare debet, qui decreuiſtis ne
epiſcoporum improbitas nitatur, ut ad comi-
tatum pergant. Quicunque ergo, quales ſu-
perius memorauimus, preces habuerint uel ac
ceperint, per diaconum ſuum mittant, quia
perſona miniſtri inuidioſa non eſt, & quæ im-
petrauerit, celerius poterit referre. Reſponde-
runt omnes: etiam hoc conſtituatur.

9 Oſius epiſcopus dixit. Et hoc conſequens
eſſe uidetur, ut de qualibet prouincia epiſco-
pi ad ſuum fratrem & coepiſcopum noſtrum
preces mittant qui in maiori ciuitate, hoc eſt,
in metropoli conſiſtit ut ille & diaconū eius,
& ſupplicationes deſtinet tribuens ei etiam
commendatitias epiſtolas ſcribens ſignificat
pari ratione ad fratres & coepiſcopos no-
ſtros, qui in illo tempore in his regionibus &
urbib. morantur in quibus pijſsimus impera-
tor rempublicam gubernat. Si uerò habeat e-
piſcoporum amicos in palatio qui cupit ali-
quid, quod tamen honeſtum eſt impetrare, nō
prohibetur per diaconum ſuum rogare, ac ſi-
gnificare his quos ſcit benignam interceſsio-
nē ſibi abſenti poſſe præſtare. Si uerò Romā ue
nerint (ſicut dictū eſt) ſāctiſsimo fratri & coepi

ſcopo noſtro Iulio preces quas habent tradãt, ut & ipſe prius examinet, ſi honeſtæ & iuſtæ ſunt, & præſtet diligentiam atque ſolicitudinem ut ad comitatum perferantur. Vniuerſi epiſcopi dixerũt placere ſibi, & honeſtum eſſe hoc conſilium.

Oſius epiſcopus dixit: Et hoc neceſſarium arbitror, ut diligentiſsimè tractetis, ſi fortè aut diues aut ſcholaſticus de foro aut ex adminiſtratore epiſcopus fuerit poſtulatus, ut non prius ordinetur niſi ante & lectoris munere, & officio diaconi aut presbyteri fuerit perfunctus, & ita per ſingulos gradus (ſi dignus fuerit) aſcendat ad culmen epiſcopatus. Habebit aũt uniuſcuiuſque ordinis promotio utiquẽ prolixum tempus quo poſsit probari qua fide ſit, quáue modeſtia, qua grauitate & uerecundia, & ſi dignus fuerit probatus, diuino ſacerdotio illuſtretur, quia conueniens non eſt, nec ratio uel diſciplina patitur, ut temere & leuiter ordinetur aut epiſcopus, aut presbyter, aut diaconus, qui neophytus eſt, maximè cùm & magiſter gentium beatus Apoſtolus ne hoc fiat denunciaſſe & prohibuiſſe uideatur. Diuturnior autem probatio conuerſionẽ & mores ſingullorum aptè exprimere poterit. Vniuerſi dixerunt hæc placere ipſis, ac nullo modo mutanda eſſe.

Oſius epiſcopus dixit: & hoc quoque ſtatuere debemus, ut epiſcopus ſi ex alia ciuitate uenerit ad aliam ciuitatem, uel ex prouincia ſua ad aliam prouinciam, arogantiæ cauſa propriæ laudi ſeruiens, quàm religioni deuotus, et multo tẽpore manere ſtatuerit, ciuitatis uerò illius epiſcopus ſit ineruditus, non contemnat illum, neque frequenter concionando epiſcopi illius ciuitatis faciem pudefaciat. Hac enim occaſione turbæ excitantur, & tali fraude alienam ſedem auellere & ſibi deſpondere ſtudet, qui non dubitat ſibi commiſſam eccleſiam relinquere & ad aliam tranſire. Definiendum itaque in hac re tempus aliquod, quoniam epiſcopum omnino non ſuſcipere inhumani et ſæui hominis eſſet. Meminiſtis autem ſuperiori tẽpore Patres noſtros ſtatuiſſe ut laicus qui in ciuitate commoratur, ſi tribus dominicis per tres ſeptimas in coetum non uenerit communione priuetur. Si ergo hæc circa laicos conſtituta ſunt, non licet aut decet, neq;

τὰς δεήσεις, ἃς ἔχοιεν, διδόναι ὀφείλουσι τῷ ἐξ ἔχειν, ἵνα πρότερον αὐτὰς δοκιμάζῃ, εἰ μή τινες ἐξ αὐτῶν ἀναισχυντοῖεν, καὶ οὕτως τὴν ἑαυτοῦ προστασίαν καὶ φροντίδα παρέχων εἰς τὸ στρατόπεδον αὐτοὺς ἀποστέλλει. ἅπαντες οἱ ἐπίσκοποι ἀπεκρίναντο ἀρέσκειν αὐτοῖς, καὶ πρεπωδεστάτην δὲ τὴν συμβουλὴν ταύτην.

10 Ὅσιος ἐπίσκοπος εἶπεν· καὶ τοῦτο ἀναγκαῖον εἶναι νομίζω, ἵνα μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας ἐξετάζοιτο, ὥστε ἐάν τις πλούσιος ἢ σχολαστικὸς ἀπὸ τῆς ἀγορᾶς ἀξιοῖτο ἐπίσκοπος γίνεσθαι, μὴ πρότερον καθίστασθαι, ἐὰν μὴ καὶ ἀναγνώστου καὶ διακόνου καὶ πρεσβυτέρου ὑπηρεσίαν ἐκτελέσῃ. ἵνα καθ' ἕκαστον βαθμὸν, ἐάνπερ ἄξιος νομισθείη, εἰς τὴν ἀψίδα τῆς ἐπισκοπῆς κατὰ προκοπὴν διαβῆναι δυνηθείη· ἕξει δὲ ἑκάστου τάγματος ὁ βαθμὸς οὐκ ἐλαχίστου δηλονότι χρόνου μῆκος, δι' οὗ ἡ πίστις αὐτοῦ καὶ ἡ τῶν πραγμάτων καλοκαγαθία, καὶ ἡ στερρότης καὶ ἡ ἐπιείκεια γνώριμος γενέσθαι δυνήσεται· καὶ αὐτὸς ἄξιος τῆς θείας ἱερωσύνης νομισθεὶς, τῆς μεγίστης ἀπολαύσει τιμῆς. οὔτε γὰρ προσῆκόν ἐστι, οὔτε ἡ ἐπιστήμη οὔτε ἡ ἀγαθὴ ἐπαναστροφὴ ἐπιδέχεται τολμηρῶς καὶ κούφως ἐπὶ τοῦτο ἰέναι, ὥστε ἢ ἐπίσκοπον ἢ πρεσβύτερον ἢ διάκονον προχείρως καθίστασθαι· οὕτω γὰρ ἂν εἰκότως νεόφυτος νομισθείη, ἐπειδὴ μάλιστα καὶ ὁ μακαριώτατος ἀπόστολος, ὃς καὶ τῶν ἐθνῶν γεγένηται διδάσκαλος, φαίνεται κωλύσας ταχείας γίνεσθαι τὰς καταστάσεις· τοῦ γὰρ μηκίστου χρόνου ἡ δοκιμασία, τὴν ἀναστροφὴν καὶ τὸν ἑκάστου τρόπον οὐκ ἀπεικότως ἐκτυποῦν δυνήσεται. ἅπαντες εἶπον ἀρέσκειν αὐτοῖς, καὶ καθάπαξ μὴ δεῖν ἀνατρέπειν ταῦτα.

11 Ὅσιος ἐπίσκοπος εἶπεν· καὶ τοῦτο δὲ ὁρίσαι ὀφείλομεν, ἵνα ἐπίσκοπος, ὅταν ἐξ ἑτέρας πόλεως παραγίνηται εἰς ἑτέραν πόλιν, ἢ ἀπὸ ἑτέρας ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν, κόμπου χάριν ἐγκωμίοις οἰκείοις ὑπηρετούμενος, ἢ θρησκείας καθοσιώσει, καὶ πλείονα χρόνον βούλοιτο διάγειν, καὶ μὴ ὁ τῆς πόλεως ἐκείνης ἐπίσκοπος ἔμπειρος ᾖ διδασκαλίας· μὴ καταφρονεῖ ἐκείνου καὶ συνεχέστερον ὁμιλεῖ καταισχύνειν καὶ κατευτελίζειν τὸ πρόσωπον τοῦ αὐτόθι ἐπισκόπου· αὕτη γὰρ ἡ πρόφασις εἴωθεν ταραχὰς ποιεῖν, καὶ ἐκ τῆς τοιαύτης πανουργίας τὴν ἀλλοτρίαν καθέδραν ἑαυτῷ προμνηστεύεσθαι καὶ πειρᾶσθαι σπουδάζει, μὴ διστάζων τὴν αὐτῷ παραδοθεῖσαν ἐκκλησίαν καταλιμπάνειν, καὶ εἰς ἑτέραν μεθίστασθαι· ὁριστέον τοίνυν ἐπὶ τούτῳ χρόνον, ἐπειδὴ καὶ τὸ μὴ ὑποδέχεσθαι ἐπίσκοπον τῶν ἀπανθρώπων καὶ σκαιῶν εἶναι νενόμισται· μέμνησθε δὲ ἐν τῷ προάγοντι χρόνῳ τοὺς πατέρας ἡμῶν κεκρικέναι, ἵνα εἴ τις λαϊκὸς ἐν πόλει διάγων τρεῖς κυριακὰς ἡμέρας, ἐν τρισὶν ἑβδομᾶσι μὴ συνέρχοιτο, ἀποκρινοῖτο τῆς κοινωνίας· εἰ τοίνυν περὶ τῶν λαϊκῶν τοῦτο τεθέσπισται, οὐ χρὴ οὐδὲ πρέπει, ἀλλ' οὐδὲ

οὐδὲ συμφέρει ἐπίσκοπον, εἰ μηδεμίαν βαρυτέραν ἀνάγκην ἔχοι ἢ πρᾶγμα δυσχερές, ἐπὶ πλεῖστον ἀπολείπεσθαι τῆς ἑαυτοῦ ἐκκλησίας, καὶ λυπεῖν τὸν ἐμπεπιστευμένον αὐτῷ λαόν. ἅπαντες οἱ ἐπίσκοποι εἰρήκασι· καὶ ταύτην τὴν γνώμην σφόδρα εὐπρεπωδεστάτην ὁριζόμεθα.

neque etiam utile eſt, epiſcopum longiori tempore ab eccleſia ſua abeſſe, & populum ſibi commiſſum relinquere : niſi grauis neceſsitas aut res aliqua difficilis obſtet. Omnes Epiſcopi dixerunt: hanc ſententiam decentiſsimam eſſe definimus.

Ὅσιος ἐπίσκοπος εἶπεν· ἐπειδὴ οὐδὲν δεῖ παραλιπεῖν, καὶ τοῦτο ὁρισθήτω. τινὲς τῶν ἀδελφῶν καὶ συνεπισκόπων ἐν ταῖς πόλεσιν, ἐν αἷς ἐπίσκοποι καθίστανται, δοκοῦσι κεκτῆσθαι σφόδρα ὀλίγα ὑπάρχοντα ἴδια, ἐν ἑτέροις δὲ τόποις κτήσεις μεγάλας, ἐξ ὧν καὶ ἐπικουρεῖν δύνανται τοῖς πένησι. οὕτως αὐτοῖς συγχωρητέον εἶναι κρίνω, ἵνα εἰ μέλλοιεν εἰς τὰς ἑαυτῶν παραγίνεσθαι κτήσεις, καὶ τὴν συγκομιδὴν τῶν καρπῶν ποιεῖσθαι, τρεῖς κυριακὰς ἡμέρας, τουτέστι, τρεῖς ἑβδομάδας ἐν τοῖς ἑαυτῶν κτήμασιν αὐτοὺς διάγειν, καὶ ἐν τῇ ἀγχιστευούσῃ ἐκκλησίᾳ, ἐν ᾗ πρεσβύτερος συνάγοι ὑπὲρ τοῦ μὴ χωρὶς συνελεύσεως αὐτὸν δοκεῖν εἶναι, συνέρχεσθαι καὶ λειτουργεῖν, καὶ μὴ συνεχέστερον εἰς τὴν πόλιν, ἐν ᾗ ἐστιν ἐπίσκοπος, παραγίνοιτο. τοῦτον γὰρ τὸν τρόπον καὶ τὰ οἰκεῖα αὐτοῦ πράγματα παρὰ τὴν αὐτοῦ ἀπουσίαν, οὐδεμίαν ὑπομένει ζημίαν, καὶ τὸ τῆς ἀλαζονείας καὶ τοῦ τύφου ἐκκλίνειν δοκεῖ ἔγκλημα. ἅπαντες οἱ ἐπίσκοποι εἶπον, ἀρέσκει καὶ αὕτη ἡ διατύπωσις. 12

Oſius epiſcopus dixit. Quia nihil præter mittendum eſt, etiam hoc definiatur. Quidam fratrum & coepiſcoporum noſtrorum in urbibus in quib. epiſcopi cõſtituũtur uidẽtur poſſidere paucas proprias poſſeſsiones, alijs habẽt uerò in locis amplas ex quibus etiã pauperes iuuare poſsint. Eis iudico hactenus permitti oportere ut quando accedũt ad poſſeſsiones ſuas, & fructus colligunt, tres dominicas, hoc eſt, tres hebdomadas in ſuis prædijs maneant. In proximã autem eccleſiam in qua presbyter cõuentũ habet (ne ipſi abſque conuentu eſſe uideantur) accedant & ſacra faciant, neq; frequẽter in urbẽ in qua epiſcop. eſt ueniat. Hoc enim modo res ipſius domeſticæ nihil damni facient propter eius abſentiam, & ipſe ſuperbiæ & iactantiæ crimen declinabit. Vniuerſi epiſcopi dixerunt hæc ſententia nobis placet.

Ὅσιος ἐπίσκοπος εἶπεν· καὶ τοῦτο πᾶσιν ἀρεσάτω, ἵνα ἤτοι διάκονος ἤτοι πρεσβύτερος ἢ καί τις τῶν κληρικῶν ἀκοινώνητος γένηται, καὶ πρὸς ἕτερον ἐπίσκοπον τὸν εἰδότα αὐτὸν καταφύγοι, γινώσκοντα ἀποκεκινῆσθαι αὐτὸν τῆς κοινωνίας παρὰ τοῦ ἰδίου ἐπισκόπου, μὴ χρῆναι τὸν ἐπίσκοπον καὶ ἀδελφῷ αὐτοῦ ὕβριν ποιοῦντα, παρέχειν αὐτῷ κοινωνίαν. εἰ δὲ τολμήσοι τοῦτο ποιῆσαι, γινωσκέτω συνελθόντων ἐπισκόπων ἀπολογίᾳ ἑαυτὸν ὑπεύθυνον καθεστάναι. ἅπαντες οἱ ἐπίσκοποι εἶπον· αὕτη ἡ κρίσις καὶ τὴν εἰρήνην πάντοτε διαφυλάξει, καὶ διατηρήσει τὴν πάντων ὁμόνοιαν. 13

Oſius epiſcopus dixit. Hoc quoque omnibus placeat, ut ſiue diaconus, ſiue presbyter, ſiue quis clericorum ab epiſcopo ſuo communione fuerit priuatus, & ad alterum cõfugerit epiſcopum qui eum noſcat, et ſciat eum ab epiſcopo ſuo fuiſſe abiectum communione, nõ oportere, epiſcopo, & fratri iniuriã faciẽti, cõmunionem indulgere. Quòd ſi hoc facere nõ dubitauerit ſciat ſe conuocatis epiſcopis cauſas eſſe dicturum. Vniuerſi epiſcopi dixerunt. Hoc ſtatutum, & pacem ſemper ſeruabit, & concordiam inter omnes cuſtodiet.

Ὅσιος ἐπίσκοπος εἶπεν· τὸ δὲ πάντοτέ με κινοῦν ἀποσιωπῆσαι οὐκ ὀφείλω. εἴ τις ἐπίσκοπος ὀξύχολος εὑρίσκοιτο, ὅπερ οὐκ ὀφείλει ἐν τοιούτῳ ἀνδρὶ πολιτεύεσθαι, καὶ ταχέως αὐτικρὺ πρεσβυτέρου ἢ διακόνου κινηθεὶς ἐκβαλεῖν ἐκκλησίας τινὰ ἐθελήσοι· προνοητέον ἐστὶν μὴ ἀθρόον τὸν τοιοῦτον κατακρίνεσθαι καὶ τῆς κοινωνίας ἀποστερεῖσθαι. πάντες εἰρήκασιν· ὁ ἐκβαλλόμενος ἐχέτω ἐξουσίαν ἐπὶ τὸν ἐπίσκοπον τῆς μητροπόλεως τῆς αὐτῆς ἐπαρχίας καταφυγεῖν· εἰ δὲ ὁ τῆς μητροπόλεως ἄπεστιν, ἐπὶ τὸν πλησιόχωρον κατατρέχειν καὶ ἀξιοῦν, ἵνα μετὰ ἀκριβείας αὐτοῦ ἐξετάζηται τὸ πρᾶγμα. οὐ χρὴ γὰρ μὴ ὑπέχειν τὰς ἀκοὰς τοῖς ἀξιοῦσιν. κἀκεῖνος δὲ ὁ ἐπίσκοπος ὁ δικαίως ἢ ἀδίκως ἐκβαλὼν τὸν τοιοῦτον, γενναίως φέρειν ὀφείλει, 14

Oſius epiſcopus dixit. Quòd me adhuc mouet reticere non debeo. Si quis epiſcopus iracundus ſit (quod non debet eſſe in tali uiro) & ſtatim contra presbyterum, aut diaconum motus, uelit eum ex eccleſia exterminare: prouidendum eſt ne innocens damnetur, aut perdat communionem. Omnes dixerunt. Qui eiectus eſt habeat poteſtatem confugiendi ad Metropolitanum epiſcopũ illius prouinciæ: ſi uerò Metropolitanus abſit, ad finitimum recurrere etiam liceat, ut cauſa eius diligentius tractetur : quia non oportet petentibus audientiam negare. Verùm ille epiſcop9 qui aut iuſtè, aut iniuſtè eũ abiecit patiẽter ferre debet,

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

ut inquiſitio negotij fiat, ut uel rata ſit eius ſententia, nec emendetur. Tamen priuſquam omnia diligenter & fideliter examinentur, excommunicatus ante cognitionem cauſæ, non debet communionem ſibi uindicare. Si autem aliqui ex clericis qui conuenerunt ad audiendum, uiderint eius faſtum, & ſuperbiam, quia iam non decet iniuriam, uel contumeliam corruptum ferre, eum ſeuerioribus ac grauioribus uerbis caſtigent, ut honeſta præcipienti epiſcopo obediant. Nam quemadmodum epiſcopus clericis ſyncerum amorem charitatis & animum exhibere debet, ita quoque uiciſſim miniſtri infucata debẽt epiſcopis ſuis præſtare obſequia.

ἵνα ἡ ἐξέτασις τοῦ πράγματος γένηται· καὶ ἡ κυρωθῇ αὐτοῦ ἡ ἀπόφασις, ἢ διορθώσεως τύχῃ· πρὶν δὲ ἐπιμελῶς καὶ μετὰ πίστεως ἕκαστα ἐξετασθῆ ὁ μὴ ἔχων τὴν κοινωνίαν πρὸ τῆς διαγνώσεως τοῦ πράγματος, ἑαυτῷ οὐκ ὀφείλει ἐκδικεῖν τὴν κοινωνίαν· ἐὰν δὲ συνεληλυθότων τῶν κληρικῶν τινὲς, καθίδωσι τὴν ὑπεροψίαν καὶ τὴν ἀλαζονείαν αὐτοῦ, ἐπειδὴ οὐ προσῆκόν ἐστιν, ὕβριν ἢ μέμψιν ἄδικον ὑπομένειν, πικροτέροις καὶ βαρυτέροις ῥήμασιν ἐπιστρέφειν τοῦτον ὀφείλουσιν, ἵνα τῷ τὰ πρέποντα κελεύοντι ὑπηρετῶνται καὶ ὑπακούωσιν. ὥσπερ γὰρ ὁ ἐπίσκοπος τοῖς ὑπηρέταις εἰλικρινῆ ὀφείλει, τὴν ἀγάπην καὶ τὴν διάθεσιν παρέχειν, τὸν αὐτὸν τρόπον οἱ ὑποτεταγμένοι ἀρίδηλα τοῖς ἐπισκόποις τὰ τῆς ὑπηρεσίας ἐκτελεῖν ὀφείλουσιν.

Oſius epiſcopus dixit: Et hoc uniuerſi conſtituimus, ut quicunque epiſcopus ex alia parochia uoluerit alienum miniſtrum ſine conſenſu ipſius epiſcopi in aliquem gradum conſtituere, nõ ſit rata eiuſmodi ordinatio. Si qui noſtri autem uſurpauerit hoc à fratribus, & coëpiſcopis & admoneri debet, & corrigi. Omnes dixerunt: Hæc quoque definitio firma & immobilis eſto.

15 Ὅσιος ἐπίσκοπος εἶπεν· καὶ τοῦτο δὲ πάντες ὁρίσωμεν, ἵνα εἴ τις ἐπίσκοπος ἐξ ἑτέρας παροικίας βουληθῇ, ἀλλότριον ὑπηρέτην χωρὶς τῆς συγκαταθέσεως τοῦ ἰδίου ἐπισκόπου, εἴς τινα βαθμὸν καταστῆσαι, ἄκυρος καὶ ἀβέβαιος ἡ κατάστασις ἡ τοιαύτη νομίζοιτο· εἴ τινες δὲ ἡμῶν, ἐὰν τοῦτο ἑαυτοῖς ἐπιτρέψειαν παρὰ τῶν ἀδελφῶν καὶ συνεπισκόπων, καὶ ὑπομεμνήσκεσθαι καὶ διορθοῦσθαι ὀφείλουσιν· ἅπαντες εἰρήκασι· καὶ οὕτως ὁ ὅρος ἔστω ἀσάλευτος.

Aeti9 epiſcopus dixit: Non ignoratis quanta & qualis ſit Theſſalonicenſium ciuitas. Sæpe ad eam ueniunt ex alijs regionibus preſbyteri, et diaconi, & non ſunt contenti breui tempore morari, & aut reſident ibi, aut certè uix poſt longa ſpatia ad ſuas eccleſias redire cogũtur. De hoc igitur ſtatuendum.

16 Ἀέτιος ἐπίσκοπος εἶπεν· οὐκ ἀγνοεῖτε ὁποία καὶ πηλίκη τυγχάνει ἡ τῶν Θεσσαλονικέων μητρόπολις· πολλάκις τοιγαροῦν εἰς αὐτὴν ἀπὸ ἑτέρων ἐπαρχιῶν πρεσβύτεροι καὶ διάκονοι παραγίνονται, καὶ οὐκ ἀρνούμενοι βραχείᾳ διαγωγῇ χρόνου, ἢ ἀπομένουσι καὶ ἅπαντα τὸν χρόνον αὐθότι ποιοῦντες διατελοῦσιν, ἢ μόλις μετὰ πλεῖστον χρόνον εἰς τὰς ἑαυτῶν ἐπανιέναι ἐκκλησίας ἀναγκάζονται· περὶ τούτων οὖν ὁριστέον,

O S I V S epiſcopus dixit: Hæc quæ circa epiſcopos conſtituta eſt in his perſonis obſeruentur.

17 Ὅσιος ἐπίσκοπος εἶπεν· οὗτοι οἱ ὅροι, οἱ καὶ ἐπὶ τῶν ἐπισκόπων ὁρισμένοι, φυλαττέσθωσαν καὶ ἐπὶ τούτων τῶν προσώπων.

Oſius Epiſcopus dixit: Suggerente fratre et coëpiſcopo noſtro Olympio, etiam hoc placuit, ut ſi aliquis uim perpeſſus eſt, & iniquè expulſus pro diſciplina & catholica cõfeſsione, uel pro defenſione ueritatis, effugiens pericula, innocens & deuotus ad aliam uenerit ciuitatem, non prohibeatur immorari, quãdiu aut redire poſsit, aut iniuria eius remedium acceperit: quia durum eſt eum qui perſecutionem patitur, non recipi à nobis. Etiã & larga beneuolentia & humanitas ei eſt exhibenda. Omnes dixerunt: placet & hoc

18 Ὅσιος ἐπίσκοπος εἶπεν· ὑποβάλλοντος καὶ τοῦ ἀδελφοῦ ἡμῶν Ὀλυμπίου καὶ τοῦτο ἤρεσεν, ἵνα εἴ τις ἐπίσκοπος βίαν ὑπομείνας ἀδίκως ἐκβληθῇ, ἢ διὰ τὴν ἐπιστήμην ἢ διὰ τὴν ὁμολογίαν τῆς καθολικῆς ἐκκλησίας, ἢ διὰ τὴν τῆς ἀληθείας ἐκδικίαν. καὶ φεύγων τὸν κίνδυνον, ἀθῷος καὶ καθωσιωμένος ὢν εἰς ἑτέραν ἔλθοι πόλιν, μὴ κωλυέσθω ἐκεῖ ἐπὶ τοσοῦτον διάγειν, ἕως ἂν ἐπανέλθῃ, ἢ τῆς ὕβρεως τῆς γεγενημένης αὐτῷ ἀπαλλαγὴν εὑρέσθαι δυνηθῇ. σκληρὸν γὰρ καὶ βαρύτατον, ἐλασίαν ἄδικον ὑπομεμενηκότα μὴ ὑποδέχεσθαι ὑφ' ἡμῶν· πλείστῃ γὰρ καλοκαγαθίᾳ καὶ φιλοφρονήσει ὀφείλει παραδέχεσθαι ὁ τοιοῦτος· πάντες εἰρήκασιν· ἤρεσεν καὶ τοῦτο·

Gaudentius epiſcopus dixit. Noſti Aetie frater tunc quando epiſcopus electus es,

19 Γαυδέντιος ἐπίσκοπος εἶπεν· οἶδας ἀδελφὲ Ἀέτιε, ὡς τὸ τηνικαῦτά ποτε καταστάθεντος ἐπισκόπου,

ἡ εἰρήνη

ἰρήνην λοιπὸν ἐβραβεῦσθαι, ἵνα μή τινα λείψανα διχονοίας περὶ τῶν ἐκκλησιαστικῶν ἐναπομένῃ· ἔδοξε καὶ τοὺς παρὰ Μουσαίου κατασταθέντας καὶ τοὺς παρὰ Εὐτυχιανοῦ, ἐπειδὴ αὐτῶν οὐδεμία αἰτία εὑρίσκοιτο, πάντας ὑποδεχθῆναι.

Ὅσιος ἐπίσκοπος εἶπεν· τῆς ἐμῆς μετριότητος 20 ἡ ἀπόφασίς ἐστιν αὕτη· ἐπειδὴ ἥσυχοι καὶ ὑπομονητικοὶ ὀφείλομεν εἶναι, καὶ διαρκῆ τὸν πρὸς πάντας ἔχειν οἶκτον· ἅπαξ τοὺς εἰς κλῆρον ἐκκλησιαστικὸν προαχθέντας ὑπό τινων ἀδελφῶν ἡμῶν, ἐὰν μὴ βούλοιντο ἐπανέρχεσθαι εἰς ἃς κατωνομάσθησαν ἐκκλησίας, τοῦ λοιποῦ μὴ ὑποδέχεσθαι· Εὐτυχιανὸν δὲ μήτε ἐπισκόπου ἑαυτῷ διεκδικεῖν ὄνομα· ἀλλ' οὐδὲ Μουσαῖον, ὡς ἐπίσκοπον νομίζεσθαι. εἰ δὲ λαϊκὴν κοινωνίαν ἀπαιτοῖεν, μὴ χρῆναι αὐτοὺς ἀρνεῖσθαι· πάντες εἶπον ἀρέσκει.

Γαυδέντιος ἐπίσκοπος εἶπεν· ταῦτα σωτηριωδῶς καὶ ἀκολούθως ὁρισθέντα καὶ πρεπόντως 21 τῇ ἐπιτιμίᾳ ὑμῶν τῶν ἱερέων, καὶ θεῷ ἀρέσαντα καὶ ἀνθρώποις τὴν δύναμιν καὶ τὴν ἰσχὺν ἑαυτῶν κατέχειν οὐ δυνήσονται· ἐὰν μὴ καὶ φόβος ταῖς ἐξενεχθείσαις ἀποφάσεσιν ἀκολουθήσει. ἴσμεν γὰρ καὶ αὐτοὶ, πλεονάκις διὰ τὴν ὀλίγων ἀναισχυντίαν τὸ θεῖον καὶ σεβασμιώτατον ὄνομα τῆς ἱερωσύνης εἰς κατάγνωσιν ἐληλυθέναι· εἰ τοίνυν τις τὰ παρὰ πάντας δόξαντα τολμήσοι, σπουδάζων τύφῳ μᾶλλον καὶ ἀλαζονείᾳ ἢ τῷ θεῷ ἀρέσαι, ἕτερόν τι διαπράξασθαι, ἤδη γινωσκέτω ἐγκλήματι ἀπολογίας ἑαυτὸν ὑπεύθυνον καθίστασθαι, ἐπὶ τὴν τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκοπῆς ἀποβάλλειν. ἅπαντες ἀπεκρίναντο· πρέπει καὶ ἀρέσκει ἡμῖν ἡ τοιαύτη γνώμη· καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνώριμον γενήσεται καὶ πληρωθήσεται, ἐὰν ἕκαστος ἡμῶν τῶν ἐν ταῖς παρόδοις ἤτοι καναλίῳ καθεστώτων ἐπισκόπων θεασάμενος ἐπίσκοπον ἐπιζητοίη καὶ αἰτίαν τῆς παρόδου, καὶ ποῦ τὴν πορείαν ποιεῖται. καὶ ἐὰν μὲν εὕρῃ αὐτὸν ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐπιζητήσει τὰς αἱρέσεις τὰς ἐπάνω προκειμένας· κἂν κεκλημένος ἀφικνῆται ἀπιόντι αὐτῷ μηδὲν ἐμπόδιον γίγνοιτο· εἰ δὲ ἐπιδείξεως χάριν, καθὼς εἴρηται τῇ ὑμετέρᾳ ἀγάπῃ, ἢ διά τινων ἀξιώσεις σπουδάζοι ἐπὶ τὸ στρατόπεδον, μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπογράφειν, μήτε κοινωνεῖν τῷ τοιούτῳ· ἅπαντες εἶπον· ὁριζέσθω καὶ τοῦτο.

pacem in poſterum ſancitam eſſe, ut nullæ reliquiæ diſſenſionis de rebus eccleſiaſticis remaneant. Viſum eſt eos qui à Muſæo & Eutychiano conſtituti ſunt omnes recipi, quandoquidē nullum crimen in illis reperitur.

Oſius epiſcopus dixit. Meæ mediocritatis hæc eſt ſententia. Quandoquidem quieti & patientes eſſe debemus ac ſufficientem erga omnes miſericordiam habere, eos qui ſemel in clerum eccleſiaſticum recepti ſunt à fratribus ſi noluerint reuerti ad illas eccleſias ad quas nominati ſunt, in poſterum non recipi. Eutychianum uerò neque epiſcopi nomen ſibi uendicare debere, neq; etiam Muſæum epiſcopū nominari. Quod ſi communionem laicam petierint eam non oportet illis negare. Omnes dixerūt: placet.

Gaudentius epiſcop. dixit. Ea quæ ſalubriter ac ordinatè definita ſunt & noſtro ſacerdotali ſtatui & honori conueniunt, & Deo atque hominibus placitura ſunt, uim ac robur ſuum retinere non poſſunt, niſi metus eſt ſententijs dictis coniungatur. Scimus enim & ipſi, ſæpiſſimè propter paucorum impudentiam, religioſum ſacerdotale nomen fuiſſe reprehenſum. Si igitur aliquis contra omnium ſententiam uiſus uoluerit faſtui & ſuperbiæ magis placere quàm Deo aut aliud aliquid agere: is debet ſcire criminis defenſioni & iudicio ſe obnoxiū fore, & honorē dignitatemq; epiſcopalē ſe miſſurum. Omnes reſponderunt, decet, ac placet nobis hæc ſententia. Hoc tamen ita cognoſcetur & perficietur ſi unuſquiſque noſtrum qui in uia uel ad canalem habitamus, cum epiſcopum uiderit quærat itineris cauſas, & quo tendat, & ſiquidem eum inuenerit ire ad comitatum, requirat & illud quod ſuperius comprehenſum eſt. Quod ſi uocatus eſt, non impediatur. Si uerò (ut ſuperiꝰ memorauit ſanctitas ueſtra) propter deſideria & ambitiones ad comitatū pergat, neque literis eius ſubſcribatur, neque in communionē recipiatur. Vniuerſi dixerunt conſtituatur hoc quoque.